# TEZAUR LITURGIC

## 21 DECEMBRIE

HARALAMBOS BOUSIA

# PARACLISUL SF.MUCENIC TEMISTOCLE DE LA MIRA LICHIEI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 21 Δεκεμβρίου
# Παρακλητικός Κανών
# εις τον Άγιο Μάρτυρα Θεμιστοκλή
# Μύρα της Λυκίας

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.
Καὶ εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. α’. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.
Στίχ. β’. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχ. γ’. Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τά Τροπάρια.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Τοὺς ἐκζητοῦντας τὴν θερμήν σου πρεσβείαν, Μεγαλομάρτυς τοῦ Χριστοῦ Θεμιστόκλεις, ἀπὸ κινδύνων λύτρωσαι δεινῶν συμφορῶν, θλίψεων κακώσεων, δυσθυμίας καὶ βλάβης, τοῦ δολίου ὄφεως,

ἵνα πόθῳ τιμῶμεν, σὲ ὡς βοσκὸν λιπόντα τοὺς ἀμνούς, ὑπὲρ ἀγάπης, Χριστοῦ Ἀρχιποίμενος.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς
Θεμιστόκλεις, ἴσθι ἡμῶν ταχὺς ἀρωγός. Χ.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Θεσπέσιε Μάρτυς Χριστοῦ εὐχάς, σεπτὲ Θεμιστόκλεις, δέξαι πάντων τῶν εὐσεβῶν, καὶ ταύτας προσάγαγε Κυρίῳ, ὥσπερ εὐῶδες θυμίαμα Ἅγιε.
Ἐν χρόνοις νεότητος Ἀθλητά, ὡς ἄκμων βασάνους, ὑπομείνας καρτερικῶς, λαμπρὲ Θεμιστόκλεις νεολαίας, τῆς χριστωνύμου ἐγένου ἀρχέτυπον.

Μαρτύρων ἀκρότης ποιμὴν καλός, ἀλόγων προβάτων, Θεμιστόκλεις τῶν λογικῶν, ἀμνῶν τῆς ἀγέλης τοῦ Κυρίου, προστάτης ὤφθης καὶ ῥύστης ἐκ θλίψεων.

Θεοτοκίον.
Ἰδεῖν τὸν Υἱόν Σου ἐν οὐρανοῖς, καὶ κόσμου Σωτῆρα,

καταξίωσον Μαριάμ, ἁγνὴ Θεοτόκε εἰς αἰῶνας, ἀτελευτήτους τοὺς Σὲ μακαρίζοντας.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Στέφος Μύρων Λυκίας καὶ τοῦ Χριστοῦ τίμιον, γέρας Ἐκκλησίας ὑψόθεν, τὴν εὐλογίαν σου, πέμψον ἡμῖν Ἀθλητά, πανευσθενὲς Θεμιστόκλεις, εὐλαβῶς δοξάζουσι, τὴν θείαν μνήμην σου.

Τοῦ Χριστοῦ τῇ δυνάμει τῇ παναλκεῖ ᾔσχυνας, Μάρτυς Θεμιστόκλεις τρισμάκαρ, τοὺς εἰδωλόφρονας· ὅθεν συντρίβειν ἐχθροῦ, καμὲ δυνάμωσον βέλη, νοητοῦ τὸν μέλποντα, σοῦ τὴν ἐνάθλησιν.

Οἱ τὸν Διοσκορίδην τὸν Ἀθλητὴν θέλοντες, ἀνευρεῖν εἰς ὄρος κρυβέντα, σὲ εὗρον βόσκοντα, τοὺς ἄρνας καὶ τοῦ Χριστοῦ, ὁμολογοῦντα τὴν χάριν, ὑπὲρ ἧς ὑπέμεινας, ἔνδοξον θάνατον.

Θεοτοκίον.

Καταφύγιον κόσμου Μῆτερ Θεοῦ δέξαι με, ἐν τῇ ἀσφαλεῖ Σου ἀγκάλῃ, ὡς ὄρνις δέχεται, νοσσία τὰ ἑαυτῆς, ὑπὸ πτερύγων τῇ σκέπῃ, τῆς αὐτῆς καὶ σῶσόν με, πόθῳ κραυγάζω Σοι.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις πολύαθλε Θεμιστόκλεις, ἀπὸ βλάβης τοῦ πονηροῦ κινδύνων καὶ θλίψεων, τοὺς σπεύδοντας πόθῳ τῇ σῇ ἀντιλήψει.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα Ἦχος β΄. Πρεσβεία θερμή.
Ὡς ἔχων πολλὴν τὴν παῤῥησίαν ἔνδοξε, Χριστῷ τῷ Θεῷ ἀδιαλείπτως πρέσβευε, λυτροῦσθαι στενώσεως, καὶ παντοίων κινδύνων ἑκάστοτε, τοὺς ἐκζητοῦντας πίστει σὰς εὐχάς, σεπτὲ Θεμιστόκλεις γενναιότατε.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.
Λυπηρῶν ἀποδίωξον, ζοφερὰν ὁμίχλην ταῖς σαῖς ἐντεύξεσι, Θεμιστόκλεις πρὸς τὸν Κύριον, ὑπὲρ Οὗ τὸ αἷμά σου ἐξέχεας.
Ἐν τῇ θείᾳ σου χάριτι, εὐσεβῶν σεμνύνεται ἡ ὁμήγυρις, Θεμιστόκλεις γενναιότατε, Μύρων τῆς Λυκίας ἄνθος εὔοσμον.

Ἰησοῦν τὸν γλυκύτατον, ἐκτενῶς δυσώπει ὑπὲρ προσφύγων σου, Θεμιστόκλεις αἰτουμένων σου, ἀρωγὴν καὶ ἄγρυπνον συμπάθειαν.

Θεοτοκίον.
Σωματώσασα Κύριον, ὑπὲρ νοῦν Παρθένε Θεογεννήτρια, τὸν λυτρώσαντα τοὺς μέροπας, ἐκ φθορᾶς παθῶν με ἀπολύτρωσαι.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.
Ἴασαι ψυχῆς, Θεμιστόκλεις ἀλγηδόνας μου, καὶ

θεράπευσον τὰς νόσους τῆς σαρκός, ὁ τοὺς πόνους ὑπομείνας τῆς ἀθλήσεως.
Σύντριψον ἐχθροῦ, τὰς δυνάμεις καρτερώτατε, Θεμιστόκλεις κινουμένας καθ’ ἡμῶν, ἀηττήτοις ὅπλοις θείων σου δεήσεων.

Θλίψεων ἡμῶν, ἀποδίωξον τὴν ζόφωσιν, καὶ ἀνάτειλον ἡμέραν χαρμονῆς, Θεμιστόκλεις τοῖς τρανῶς σε μακαρίζουσι.

Θεοτοκίον.
Ἵλεως ἡμῖν, Σὸν σεπτὸν Υἱὸν ἀπέργασαι, καταφεύγουσιν ἐν πίστει ἀκλινεῖ, τῇ ἐνθέρμῳ προστασίᾳ Σου Μητρόθεε.

ᾨδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.
Ἠρίστευσας, ἐν ταῖς μάχαις Ἅγιε, Θεμιστόκλεις κατ’ ἀνόμου Δεκίου, καὶ ὥσπερ ἄκμων στεῤῥὸς ὑπομείνας, ὀξέων ἥλων τὰς ξέσεις ἠξίωσαι, τῆς Βασιλείας Οὐρανῶν, ἧς ἡμᾶς κληρονόμους ἀνάδειξον.
Μαρτύριον, Θεμιστόκλεις πάνδεινον, ὑπομείνας ἐπὶ ξύλου ἐτάθης, καὶ σιδηροῖς ἥλοις μάκαρ ἐξέσθης, Χριστοῦ προσφέρων τὸ πάντιμον ὄνομα· διὸ καὶ χάριν εἰληφώς, πρεσβευτὴς ἡμῶν γέγονας ἔνθερμος

Ὡς ἄσειστον, βάθρον θείας πίστεως, καὶ Μαρτύρων σὲ τιμῶντες κρηπῖδα, ταῖς σαῖς λιταῖς Θεμιστόκλεις ἀνδρεῖε, ἐν συμφοραῖς καὶ δεινοῖς καταφεύγομεν, καὶ ἐκβοῶμεν μυστικῶς· χαῖρε Μάρτυς Κυρίου μεγάλαθλε.

Θεοτοκίον.
Νῦν κράζομεν, εὐλαβῶς ἱλέωσαι, Θεοτόκε τὸν ἐκ Σοῦ γεννηθέντα, ἡμῖν τοῖς πταίσασι Τούτῳ πολλάκις, ἵνα πταισμάτων συγχώρησιν λάβομεν, οἱ ἀφορῶντες πρὸς τὴν Σήν, ἀρωγήν καὶ ταχεῖαν βοήθειαν.

Διάσωσον, ταῖς σαῖς πρεσβείαις πολύαθλε Θεμιστόκλεις, ἀπὸ βλάβης τοῦ πονηροῦ κινδύνων καὶ θλίψεων, τοὺς σπεύδοντας πόθῳ τῇ σῇ ἀντιλήψει.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων Σου.
Βοσκὲ προβάτων ἀλόγων πανάμωμε, Λυκίας Μύρων βλαστὲ ἐνθεώτατε, καὶ Μάρτυς Χριστοῦ ἀξιΰμνητε, ἡμῶν λιτὰς Θεμιστόκλεις προσάγαγε, πρὸς τὸν Ἀρχιποίμενα Κύριον.

Προκείμενον
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
Στ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Ἐκ τοῦ κατὰ Ἰωάννην (Κεφ. ιε΄ 17 – στ΄ 2, 17 – στ΄ 2).
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν

μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον.

Δόξα.

Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος. Ελεήμον, ελέησόν με ο Θεός...

Προσόμοιον Ἦχος β'. Όλην αποθέμενοι.

Ἀνδρικῷ φρονήματι, τοῦ μαρτυρίου τὸν δρόμον, ἀκλινῶς διήνυσας, Θεμιστόκλεις ἔνδοξε γενναιότατε, καὶ πολλῆς χάριτος, μέτοχος ἐδείχθης, διὰ τοῦτό σου δεόμεθα· Μάρτυς μεγάλαθλε, φύλαττε ἀτρώτους σοὺς πρόσφυγας, στενώσεως κακώσεων, καὶ ἐπιβουλῆς τοῦ ἀλάστορος, σαῖς θερμαῖς πρεσβείαις, πρὸς Κύριον

τοὺς ὕμνους μελιχροῖς, ἀνευφημοῦντας σὴν ἄθλησιν, τὴν στεῤῥὰν καὶ πάντιμον.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τοῦ Δεκίου τὴν πλάνην, στιγματίσας σοῖς λόγοις βοσκὲ στεῤῥόψυχε, ἐκ σιδηρῶν ὀξέων, ἐδέξω ἥλων ξέσεις· ὅθεν πόθῳ τιμῶντές σε, τὰς πρὸς Θεόν σου λιτάς, θερμῶς ἐπιζητοῦεν.

Ἀκατάβλητε Μάρτυς, Θεμιστόκλεις Δεκίου ὀφρῦν ἐνστάσει σου, ὁ καθελὼν ἀνδρείᾳ, τυράννου ἀοράτου, τὴν κακίαν ταπείνωσον, δι᾽ ἧς περᾶται ἡμᾶς, ἀπὸ Θεοῦ μακρύνειν.

Χάριν πᾶσιν ἐξαίτει, καὶ βοήθειαν θείαν τοῖς σοὶ προσφεύγουσιν, ἐκ πόθου Θεμιστόκλεις, Μαρτύρων ἀλκιφρόνων, ἱερὸν ἐγκαλλώπισμα, σὲ γὰρ προστάτην θερμόν, κατέχομεν πρὸς Κτίστην.

Θεοτοκίον.

Ὑπερύμνητε Μῆτερ, Θεοτόκε Παρθένε ἡ σωματώσασα, ὑπερφυῶς τὸν Λόγον, Θεοῦ καὶ τῶν ἀνθρώπων, Λυτρωτὴν πᾶσιν βράβευσον, ἡμῖν τοῖς δούλοις τοῖς Σοῖς, ὑγείαν κατ᾽ ἄμφω.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Στέφος ἔχει, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καὶ τὰ Μύρα Λυκίας σε γέρας, θεῖον Θεμιστόκλεις, Μαρτύρων κοσμιότης.

Ἄνθος εὐῶδες, τῶν μεγαλάθλων Μαρτύρων, ὁ σοῖς ἄθλοις μυρίσας τὴν κτίσιν, δεῖξον Θεμιστόκλεις, ἡμᾶς ἀγάπης ἄνθη.

Ῥῦσαι κινδύνων, καὶ πειρασμῶν ψυχοκτόκων, Θεμιστόκλεις τοῖς σοὶ προσιόντας, καὶ ὑμνοῦντας ἄθλους, τοὺς σοὺς Μεγαλομάρτυς.

Θεοτοκίον.

Ὡς Θεοτόκον, τοὺς μεγαλύνοντας πίστει, Σὲ ἀεὶ ἀπειρόγαμε Κόρη, ῥῦσαι χαμαιζήλων, παθῶν καὶ νοσημάτων.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Γενναῖε Θεμιστόκλεις, λάμπων ἀγλαΐᾳ, μαρτυρικῇ σκοτασμοῦ με ἐκλύτρωσαι, καὶ πρὸς τὸ φῶς ἀπαθείας με καθοδήγησον.

Ὁμόσκηνε Μαρτύρων, θείων Θεμιστόκλεις, Χριστῷ σὺν τούτοις ἀείποτε πρέσβευε, πάσης στενώσεως ῥύεσθαι τοὺς τιμῶντάς σε.

Συντήρει σοὺς ἱκέτας, ἀσινεῖς μανίας, τοῦ πονηροῦ Θεμιστόκλεις ἀλάστορος, ὀλέτα πλάνης εἰδώλων θεοειδέστατε.

Θεοτοκίον.

Χαρίτων οὐρανίων, ἄσυλον ταμεῖον, Θεοκυῆτορ Παρθένε χαρίτωσον, τοὺς εἰς αἰῶνας αἰώνων Σὲ μεγαλύνοντας.

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί  παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν  ἀσυγκρίτως τῶν Σεραφείμ· τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν  ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,

Χαίροις Θεμιστόκλεις πανευσθενές, Μύρων τῆς Λυκίας, γόνε τίμιε καὶ σεπτέ· χαίροις Ἀθλοφόρων, προσθήκη στεῤῥοψύχων, καὶ πίστεως Κυρίου, εὖχος πολύτιμον.

Βόσκων τοὺς σοὺς ἄρνας ἐν τοῖς δρυμοῖς, Μύρων τῆς Λυκίας, ὡμολόγησας εὐθαρσῶς, τοῦ Χριστοῦ τὴν πίστιν, τρισμάκαρ Θεμιστόκλεις, καὶ ἐξ ὀξέων ἥλων, ξέσεις ὑπέμεινας.

Ἤνεγκας ἀσμένως τῆς σῆς σαρκός, ξέσεις ἐξ ὀξέων, ἥλων Μάρτυς πανευσθενές· ὅθεν Θεμιστόκλεις, καὶ στέφος ἐξ ἀχράντων, χειρῶν τοῦ Ζωοδότου, εἴληφας ἄφθαρτον.

Νόσων ἀνιάτων καὶ ζοφερῶν, ἀνωτέρους τήρει, τοὺς ἱκέτας σου Ἀθλητά, μάκαρ Θεμιστόκλεις, καὶ πειρασμῶν παντοίων, ἀπάλλαττε τοὺς πόθῳ, ὑμνολογοῦντάς σε.

Σὺν σεπταῖς χορείαις τῶν Ἀθλητῶν, παρεστὼς Κυρίῳ, καθικέτευε ἐκτενῶς, δοῦναι Θεμιστόκλεις, τοῖς σὲ ἀνευφημοῦσι, ὑγείαν κατ’ ἄμφω, ῥώμην καὶ δύναμιν.

Πάντας τοὺς τιμῶντάς σου εὐλαβῶς, μνήμην τὴν ἁγίαν, καὶ γεραίροντας σοὺς σεπτούς, πόνους μαρτυρίου, συντήρει Θεμιστόκλεις, ἀτρώτους τῆς μανίας, τοῦ παναλάστορος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν τὸ ἑξῆς.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.
Μάρτυς, Θεμιστόκλεις τοῦ Χριστοῦ, Μύρων τῆς Λυκίας κοσμῆτορ, καὶ γόνε περικλεές, ἐκτενῶς ἱκέτευε, τὸν πάντων Κύριον, καὶ Δεσπότην τῆς κτίσεως, ὑπὲρ τῶν ἐν πίστει, ἐκτελούντων μνήμην σου, τὴν ἀεισέβαστον, πέλεις γὰρ ἡμῶν παραστάτης, ἐν ταῖς τρικυμίαις τοῦ βίου, καὶ θερμὸς ἀκέστωρ ἀθλοφόρητε.
Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δι’ ευχῶν τῶν ‘Αγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός ἡμῶν ἐλέησον ἡμᾶς.
’Αμήν.

